σεὶ ὕδωρ. Ὅλην τὴν ἡμέραν περιέσχον με ἅμα. Ἐμάκρυνας ἀπ' ἐμοῦ φίλον καὶ πλησίον, καὶ τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας. Δόξα.

Συνέσεως Αἰθὰμ τῷ Ἰσραηλίτῃ.

ΨΑΛΜΟΣ, πή. 88.

Τὰ ἐλέη σου Κύριε εἰς τὸν αἰῶνα ᾄσομαι, εἰς γενεὰν καὶ γενεὰν ἀπαγγελῶ τὴν ἀλήθειάν σου ἐν τῷ στόματί μου. Ὅτι εἶπας, εἰς τὸν αἰῶνα ἔλεος οἰκοδομηθήσεται, ἐν τοῖς Οὐρανοῖς ἑτοιμασθήσεται ἡ ἀλήθειά σου. Διεθέμην διαθήκην τοῖς ἐκλεκτοῖς μου, ὤμοσα Δαβὶδ τῷ δούλῳ μου. Ἕως τοῦ αἰῶνος ἑτοιμάσω τὸ σπέρμα σου, καὶ οἰκοδομήσω εἰς γενεὰν καὶ γενεὰν τὸν θρόνον σου. Ἐξομολογήσονται οἱ Οὐρανοὶ τὰ θαυμάσιά σου Κύριε, καὶ γὰρ τὴν ἀλήθειάν σου ἐν Ἐκκλησίᾳ ἁγίων. Ὅτι τίς ἐν νεφέλαις ἰσωθήσεται τῷ Κυρίῳ; καὶ τίς ὁμοιωθήσεται τῷ Κυρίῳ ἐν Υἱοῖς Θεοῦ; Ὁ Θεὸς ὁ ἐνδοξαζόμενος ἐν βουλῇ ἁγίων. μέγας καὶ φοβερός ἐστιν ἐπὶ πάντας τοὺς περὶ κύκλῳ αὐτοῦ. Κύριε ὁ Θεὸς τῶν δυνάμεων, τίς ὅμοιός σοι; δυνατὸς εἶ Κύριε, καὶ ἡ ἀλήθειά σου κύκλῳ σου. Σὺ δεσπόζεις τοῦ κράτους τῆς θαλάσσης, τὸν δὲ σάλον τῶν κυμάτων αὐτῆς σὺ καταπραΰνεις. Σὺ ἐταπείνωσας ὡς τραυματίαν ὑπερήφανον. ἐν τῷ βραχίονι τῆς δυνάμεώς σου διεσκόρπισας τοὺς ἐχθρούς σου. Σοί εἰσιν οἱ Οὐρανοὶ, καὶ σή ἐστιν ἡ γῆ. Τὴν Οἰκουμένην, καὶ τὸ πλήρωμα αὐτῆς σὺ ἐθεμελίωσας. Τὸν Βορρᾶν, καὶ τὴν θάλασσαν σὺ ἔκτισας. Θαβὼρ, καὶ Ἑρμὼν ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται. Σὸς ὁ βραχίων μετὰ δυναστείας. Κραταιωθήτω ἡ χείρ σου, ὑψωθήτω ἡ δεξιά σου. Δικαιοσύνη καὶ κρίμα ἑτοιμασία τοῦ θρόνου σου. Ἔλεος, καὶ ἀλήθεια προπορεύσονται πρὸ προσώπου σου. Μακάριος ὁ λαὸς ὁ γινώσκων ἀλαλαγμόν. Κύριε ἐν τῷ φωτὶ τοῦ προσώπου σου πορεύσονται, καὶ ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται ὅλην τὴν ἡμέραν,